UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Hapanta Ta Hellēnisti Heuriskomena

**Origenes**

**Coloniæ, 1685**

Ad caput 1. versicul. 12. Interprete Francisco Vigero.

urn:nbn:de:hbz:466:1-79842

Visual Library

# ΩΡΙΓΕΝΟΥΣ ΕΞΗΓΗΤΙΚΑ. | ORIGENIS COMMENTARIA.

## ΑΠΟ ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ.

## EX ORIGENIS COMMENTARIIS IN GENESIM.

### Ad caput 1. versicul. 12.

### *Interprete FRANCISCO VIGERO.*

A Εἰ δέ τινι προσκόπτει διὰ τοὺς ἀνθρωπίνους τεχνίτας μὴ δύνασθαι παραδέξασθαι τὸν θεὸν χωρὶς ὕλης ἀγενήτου ὑποκειμένης κατασκευάζειν τὰ ὄντα, ἐπεὶ μηδὲ ἀνδριαντοποιὸς χωρὶς χαλκοῦ τὸ ἴδιον ἔργον ποιῆσαι δύναται, μηδὲ τέκτων χωρὶς ξύλων, μηδὲ οἰκοδόμος χωρὶς λίθων. ζητητέον πρὸς αὐτοὺς περὶ δυνάμεως θεοῦ, εἰ θελήσας ὑποστῆσαι ὅ, τι βούλεται ὁ θεός, τῆς θελήσεως αὐτοῦ οὐκ ἀπορουμένης, B οὐδὲ ἀτονούσης, δύναται ὑποστῆσαι ὃ βούλεται· ὥσπερ γὰρ λόγῳ τὰς ποιότητας, κατὰ πάντας τοὺς πρόνοιαν εἰσάγοντας τῷ ἰδίῳ λόγῳ, οὐκ οὔσας ὡς βούλεται εἰς διακόσμησιν τοῦ παντὸς ὑφίστησι τῇ ἀφάτῳ αὐτοῦ δυνάμει καὶ σοφίᾳ, τούτῳ τῷ λόγῳ καὶ τὴν οὐσίαν, ὅσης χρῄζει, ἱκανή ἐστιν αὐτοῦ ἡ βούλησις ποιῆσαι γενέσθαι. ἀπορήσομεν γὰρ πρὸς τοὺς οὐ βουλομένους ταῦθ' οὕτως ἔχειν, εἰ μὴ ἀκολουθεῖ αὐτοῖς εὐτυχηκέναι τὸν θεόν, ἀγένητον εὑρόντα τὴν οὐσίαν, C ἣν εἰ μὴ τὸ ἀγένητον αὐτῷ ὑποβεβληκὸς ἦν, οὐδὲν ἔργον δυνατὸς ἦν ποιῆσαι, ἀλλ' ἔμενεν οὐ δημιουργός, οὐ πατήρ, οὐκ εὐεργέτης, οὐκ ἀγαθός, οὐκ ἄλλό τι τῶν εὐλόγως λεγομένων περὶ θεοῦ· πόθεν δὲ καὶ τὸ μετρεῖν τῆς ὑποκειμένης οὐσίας τὸ τοσόνδε, ὡς διαρκέσαι τῇ τηλικούτου κόσμου

SI quispiam eo in errore versabitur, ut de artificum nostrorum more cogitans, dandum esse neget, Deum res universas moliri posse, nisi materiam quandam ortu carentem præ manibus habuerit, cum neque statuarius absque ære, nec faber lignarius sine lignis, nec architectus sine lapidibus susceptum opus elaborare possit: de potestate Dei quærendum ex illo est, utrum Deus ubi quidquid ipsi placuerit, moliri statuerit, nulla difficultate vim ejus voluntatis inhibente, quod visum sibi fuerit, perficere possit. Qua enim ratione, qualitates illas (id quod ex eorum omnium qui Providentiam esse defendunt oratione, sententiaque conjunctum est) quæ nullæ dum erant, ad Universi ornatum, pro infinita potestate, sapientiaque producit: eadem omnino naturam quamlibet, si qua forte indigeat, procreare continuo voluntas ejus per sese poterit. Nam quæremus ex iis, qui rem hoc modo se habere negaverint, numquid ex eorum opinione consequens sit, belle admodum id ac fortunate Deo cessisse, quod in naturam illam ortus expertem inciderit, quam nisi eo ipso quod ortu careret, nactus esset, nihil unquam efficere potuisset: adeoque perpetuo Molitoris, Parentis, Benigni, Boni, ac cæteris omnibus, quæ magna cum ratione Deo tribuuntur, nominibus spoliatus perstitisset. Deinde qui fieri possit, ut vim materiæ tantam, sic tanquam ad pondus accurate, justeque admensam invenerit; quæ

quæ ad hujus proprie, non majoris, minorisve mundi molitionem satis esset. Invehenda quippe nescio quæ, Deo tamen antiquior Providentia necessario fuerit, quæ materiam ei subjecerit, dum id ea provideret inposterum, ne quas in se Deus haberet artis suæ notiones, irritæ cederent, si non ejus naturæ copia fieret, cujus opera tam excellentem, & eximiam Universi speciem efficeret. Unde porro id habuit, ut omnis qualitatis capax esset, quam eidem imprimere Deus voluisset, nisi qualem eam habere ipse vellet, talem ante sibi, tantamque molitus erit? Jam ut nonnullis daremus ortu carere materiam, iis tamen qui sic opinantur, hunc in modum instare possemus; si quantumvis naturam illam Deo Providentia nulla subjecerit, ejusmodi tamen ea per sese fuit: eandem si Providentia suopte consilio procreasset, ecquid amplius ipsa, quam quod fortuito, casuque factum videmus, effecisset. Quid si Deus ipse materiam, quæ nulla dum esset, fingere, molirique statuisset? ecquid tandem ejus cum sapientia, tum divinitas excellentius, quam quod ex ortu carente materia extitit, molitus esset? Nam si ex Providentia idem omnino profecturum erat, quod sine Providentia factum est: quidni ex ipso quoque mundo auctorem omnem, artificemque tollamus? Quemadmodum enim absurdum fuerit, mundum hunc dicere, tam eleganter, apteque constructum, absque sapientis artificis manu talem extitisse: ita vim materiæ tantam, ejusque conditionis & naturæ, adeoque artifici numinis rationi obsequentem, sine ortus sui principio per se ipsam extitisse, non minus ineptum videri debet. Cæterum iis qui artificum nostrorum comparationem obtendunt, quorum nemo sine materia quicquam efficiat, occurrendum nullam eorum hoc in genere similitudinem esse. Materiam enim artifici cuilibet Providentia subjicit, quæ à principe quadam, seu humana illa, seu divina sit, arte oriatur. Atque hæc in præsentiarum adversus eos satis erunt,
Gen. 1, 2. qui quod ita scriptum videant: *Terra autem erat invisibilis & vacua*, naturam corpoream ortus omnis expertem esse opinantur.

A ὑποστάσει; οἱονεὶ γὰρ πρόνοιά τις πρεσβυτέρα θεοῦ, ἀναγκαίως τὴν ὕλην ἔσται ὑποβεβληκυῖα τῷ θεῷ, προνοουμένη τὴν τέχνην τὴν ἐνυπάρχουσαν αὐτῷ μὴ κενοπαθῆσαι, οὐκ οὔσης οὐσίας, ᾗ ὁμιλῆσαι δυνάμενος κατεκόσμησε τὸ τηλικοῦτο κόσμου κάλλος· πόθεν δὲ καὶ δεκτικὴ γεγένηται πάσης ἧς ἐβούλετο ὁ θεὸς ποιότητος, μὴ αὐτοῦ τοῦ θεοῦ ἑαυτῷ τοσαύτην καὶ τοιαύτην ποιήσαντος, ὁποίαν ἔχειν ἐβούλετο; καθ᾽ ὑπόθεσιν γοῦν ἀποδεξάμενοι τὸ ἀγένητον εἶναι τὴν ὕλην, B ταῦτα ἐροῦμεν πρὸς τοὺς τοῦτο βουλομένους, ὅτι εἰ προνοίας οὐχ ὑποβαλλούσης τὴν οὐσίαν τῷ θεῷ τοιαύτη γεγένηται, εἰ πρόνοια ἦν ὑφεστῶσα, τί ἂν πλέον πεποιήκει τοῦ αὐτομάτου; καὶ εἰ αὐτὸς μὴ οὔσης ὕλης ἐβούλετο κατασκευάσαι αὐτήν, τί ἂν πλέον ἡ σοφία, καὶ ἡ θειότης αὐτοῦ πεποιήκει τοῦ ἐξ ἀγενήτου ὑποστάντος; εἰ γὰρ εὑρίσκεται ταυτὸν γενόμενον ἂν ὑπὸ τῆς προνοίας, ὅπερ καὶ χωρὶς προνοίας ὑπέστη, διὰ τί οὐχὶ καὶ ἐπὶ τοῦ κόσμου ἀθετήσομεν τὸν δημιουργὸν καὶ τὸν τεχνίτην; C ὥσπερ γὰρ ἄτοπον ἐπὶ τοῦ κόσμου εἰπεῖν οὕτω τεχνικῶς κατεσκευασμένου, τὸ χωρὶς τεχνίτου σοφοῦ τὸν αὐτοποίητον γεγονέναι, οὕτω καὶ τὸ τὴν ὕλην τοσαύτην καὶ τοιαύτην, καὶ οὕτως εἰκτικὴν τῷ τεχνίτῃ λόγῳ θεοῦ ὑφεστηκέναι ἀγενήτως, ἐπίσης ἐστὶν ἄλογον. πρὸς μέντοιγε τοὺς παραβάλλοντας, ὅτι οὐδεὶς δημιουργὸς χωρὶς ὕλης ποιεῖ; λεκτέον ὅτι ἀνομοίως παραβάλλουσι· πρόνοια γὰρ παντὶ τεχνίτῃ ὑποβάλλει τὴν ὕλην, ἀπὸ προτέρας τέχνης, ἢ ἀνθρωπίνης, ἢ θείας ἐρχομένην. D ταῦτα μὲν οὖν ἐπὶ τοῦ παρόντος ἀρκέσει, πρὸς τοὺς διὰ τὸ λέγεσθαι· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, οἰομένους ἀγένητον εἶναι τὴν σωματικὴν φύσιν·

## E III. TOMO COMMENTARIORUM IN GENESIM.

## ΕΚ ΤΟΥ ΤΟΜΟΥ γ΄ ΤΩΝ ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ.

### Ad caput 1. versicul. 14.

*Eodem Interprete.*

Quod hic habetur, luminaria quæ sane alia non sunt, quam Sol, Luna, cæteraque sydera, tanquam signa quædam esse constituta, id vero ut diligenter explicetur, inprimis necessarium est. Nec enim gentes illæ modo, quæ à Christi fide alienæ sunt, ad eum qui de Fato instituitur, locum offendunt,

E Περὶ τοῦ εἰς σημεῖα γεγονέναι τοὺς φωστῆρας οὐκ ἄλλους ἡλίου καὶ σελήνης, καὶ τῶν * ἄστρων τυγχάνοντας, τῶν σφόδρα ἀναγκαιοτάτων ἐστὶ διαλαβεῖν, οὐ μόνον * ἐθνῶν τῶν τῆς Χριστοῦ πίστεως ἀλλοτρίων, σφαλλομένων εἰς τὸν περὶ τῆς εἱμαρμένης τόπον

* Philoc. ἀστέρων
* Philoc.

τῇ